# ΕΥΧΟΛΟΓΙΟΝ

© Greek Text, Introduction and Commentary copyright by S. Parenti and E. Velkovska, 2011

**1**. 1) |[1r] *Λειτουργία τοῦ ἁγίου Βασιλείου.*

2) *Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς ἐν τῷ σκευοφυλακίῳ ἀποτιθεμένου τοῦ ἄρτου*[1] *ἐν τῷ δίσκῳ.*

**α'** 3) Ὁ θεὸς ὁ θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου[a], τὸν Κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας[b] σωτῆρα[c] καὶ λυτρωτὴν[d] καὶ εὐεργέτην, εὐλογοῦντα[e] καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, |[1v] τῶν προσενεγκάντων καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. *Ἐκφώ(νησις)·* Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ πατρός.

[a]Cfr. Io 6,51 [b]Gal 4,4 [c]1 Io 4,14 [d]Act 7,35 [e]Act 3,26

= BUN.ANA 201; SWA 76; LEW 309; STR.BAR 1; ARR.EUC 537

+ GOAR 51, 135; SWA 108; KRA 237; BEI 2, 44; ORL 22-23; TRE.LIT 17-20; STR.MIS 93; MORA 9; JAC.MES 1.2; PAS 268; THI 1; PAR.G04 3; ARR.EUC 465-466; ROM 42; PAP 33, 53-54; ZER 47, 75

**2**. 1) *Εὐχὴ ἀντιφώνου α'.*

**β'** 2) Κύριε ὁ θεὸς ἡμῶν[a], οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον[b] καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, δέσποτα, κατὰ τὴν εὐσπλαχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον |[2r] τοῦτον[c], καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου. *Ἐκφώ(νησις)·* Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ[d] καὶ προσκύνησις τῷ πατρὶ[2] καί.

[a]Dan 9,15 (Theod.) et a. [b]Or Man 6 [c]cfr. 3Regn 8,28.29 [d]cfr. 1Tim 1,17

= BUN.ANA 201; SWA 76; LEW 310; STR.BAR 2; ARR.EUC 538

+ GOAR 52-53, 135; SWA 111; KRA 238; BEI 5, 46-47; ORL 48; TRE.LIT 27-31; STR.MIS 93; MORA 9; JAC.MES 1.4; PAS 269, 308; THI 3; PAR.G04 4; ARR.EUC 467; ROM 44; PAP 34-35, 54; ZER 49, 76

---

[1] Cod. τοὺς ἄρτους.

[2] Cod. τοῦ π(ατ)ρ(ο)ς.

**3**. 1) *Εὐχὴ ἀντιφώνου β'.*

**γ'** 2) Κύριε ὁ θεὸς ἡμῶν[a], σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου[b]· τὸ πλήρωμα τῆς ἐκκλησίας σου ἐν εἰρήνῃ διαφύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου[c]· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου |[2v] δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς[d] ἡμᾶς, ὁ θεός, τοὺς ἐλπίζοντας ἐπὶ σοί[e]. *Ἐκφώ(νησις)·* Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις[f] καί.

[a]Dan 9,15 (Theod.) et a. [b]Ps 27,9 [c]Ps 25,8 [d]cfr. Ps 26,9 [e]cfr. Ps 16,7 [f]Mt 6,13

= BUN.ANA 202; SWA 76; LEW 311; STR.BAR 3; ARR.EUC 538

+ GOAR 53, 136; SWA 112; KRA 238; BEI 6, 48; ORL 52-54; TRE.LIT 32-33; STR.MIS 93; MORA 9; JAC.MES 1.5; PAS 271; THI 4; PAR.G04 5; ARR.EUC 467; ROM 45; PAP 35, 55; ZER 49, 77

**4**. 1) *Εὐχὴ ἀντιφώνου γ'.*

**δ'** 2) Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος[a], αὐτὸς καὶ νῦν τῶν δούλω‹ν› σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον[b], χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν |[3r] τῆς σῆς ἀληθείας[c], καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος. *Ἐκφώ(νησις)·* Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν.

[a]cfr. Mt 18,19-20 [b]Ps 19,6; 1Cor 12,7 [c]cfr. 1Tim 2,4; Hebr 10,26 et a.

= BUN.ANA 202-203; SWA 76; LEW 311-312; STR.BAR 4; ARR.EUC 538-539

+ GOAR 53, 136; SWA 113; KRA 239; BEI 7, 49; ORL 56-58; TRE.LIT 36; STR.MIS 93-95; MORA 10; JAC.MES 1.6; PAS 273; THI 5; PAR.G04 6; ROM 45; ARR.EUC 468; PAP 35, 55; ZER 49-50, 77

**5**. 1) *Εὐχὴ τῆς εἰσόδου.*

**ε'** 2) Δέσποτα Κύριε ὁ θεὸς ἡμῶν[a], ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων πρὸς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συνλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. *Ἐκφώ(νησις)·* Ὅτι πρέπει σοι.

[a]Dan 9,15

= BUN.ANA 203; SWA 76-77; LEW 312; STR.BAR 5; ARR.EUC 539

+ GOAR 54, 136; SWA 114; KRA 239; BEI 9, 50; ORL 62-64; TRE.LIT 37; COD 130, 167; STR.MIS 95; MORA 10; JAC.MES 1.7; PAS 275; THI 6; PAR.G04 7; ARR.EUC 468; ROM 46; PAP 36, 55; ZER 50, 78

## **6**. 1) |[3v] *Εὐχὴ τοῦ τρισαγίου.*

**ϛ'** 2) Ὁ θεὸς ὁ ἅγιος ὁ ἐν ἁγίοις ἀναπαυόμενος[a], ὁ τρισαγίᾳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα[b], ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν[c], καὶ παντί σου χαρίσματι κατακοσμήσας, καὶ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν[d], καὶ μὴ παρορῶν ἁμαρτά- |[4r] -νοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν[e], ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης[f] τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, δέσποτα, ‹πρόσδεξαι› καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου· συνχώρησον ἡμῖν |[4v] πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν[g], πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰώνων[h] σοι εὐαρεστησάντων. *Ἐκφώ(νησις)·* Ὅτι ἅγιος εἶ, ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

[a]Is 57,15 [b]Sap 1,14 [c]Gen 1,26-27; Sap 2,23 [d]2Par 1,10 [e]cfr. Or Man 8 [f]Jd 24 [g]Ps 22,6; 26,4; Lc 1,75 [h]Lc 1,70

= BUN.ANA 204-205; SWA 77; LEW 313-314; STR.BAR 6; ARR.EUC 539-540

+ GOAR 55, 137; SWA 115-116; KRA 240-241; BEI 12-13, 53; ORL 68-70; TRE.LIT 43-45; STR.MIS 95; MORA 10-11; JAC.MES 1.8; PAS 277; THI 7; PAR.G04 8; ARR.EUC 469-470; ROM 48; PAP 36-37, 56; ZER 51-52, 78-79

## **7**. 1) *Εὐχὴ τῆς ἄνω καθέδρας.*

**ζ'** 2) Δέσποτα Κύριε ὁ θεὸς τῶν δυνάμεων[a], σῶσον τὸν λαόν σου[b] καὶ εἰρήνευσον αὐτὸν τῇ |[5r] δυνάμει τοῦ ἁγίου σου πνεύματος[c], διὰ τοῦ τύ-

που τοῦ τιμίου {σου} σταυροῦ τοῦ μονογενοῦ σου υἱοῦ μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν[d].

[a]Ps 83,9 [b]Ps 27,9 [c]Rom 15,13 [d]4Mac 18,24

= GOAR 150; BUN.ANA 205-206; SWA 77; LEW 314; STR.BAR 7; PAR.CAT 52; ARR.EUC 528, 540; ROM 49

+ GOAR 83; ARR.ORT 129; PAR.CAT 52-53 (cfr. n° 26.2)

## **8**. 1) *Εὐχὴ τῆς ἐκτενῆς τοῦ Κύριε ἐλέησον.*

**η'** 2) Κύριε ὁ θεὸς ἡμῶν[a], τὴν ἐκτενὴν ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου[b], καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ |**5v** πλούσιον ἔλεος[c]. *Ἐκφώ(νησις)·* Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις καὶ σοί.

[a]Dan 9,15 (Theod.) et a. [b]2Esdr 23,22; Ps 5,8, 68,14 [c]cfr. Eph 2,4

= BUN.ANA 206; SWA 77; LEW 314-315; STR.BAR 8; ARR.EUC 541

+ GOAR 56, 137; SWA 118-119; KRA 241; BEI 15, 57; ORL 100-102; TRE.LIT 59; STR.MIS 95; MORA 11; JAC.MES 1.10; PAS 278,12; THI 8, 48; PAR.G04 9; ARR.EUC 470; ROM 51; PAP 38, 57; ZER 54, 79, 111 (cfr. n° 27.2)

## **9**. 1) *Εὐχὴ κατηχουμένων.*

**θ'** 2) Κύριε ὁ θεὸς ἡμῶν[a], ὁ ἐν οὐρανοῖς κατοικῶν[b] καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον καὶ ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους τοὺς κεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου· δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν[c], ποίησον αὐτοὺς μέλη τῆς ἁγίας σου ἐκκλησίας καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ |**6r** τῆς παλινγενεσίας[d], τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ θεοῦ[e] ἡμῶν. *Ἐκφώ(νησις)·* Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσιν τὸ πάντιμον.

[a]Dan 9,15 (Theod.) et a. [b]Ps 2,4; Ps 112,5 [c]Mt 11,30 [d]Tit 3,5 [e]Io 17,3; cfr. Col 1,10

= BUN.ANA 207; SWA 77; LEW 315-316; STR.BAR 9; ARR.EUC 541

+ GOAR 138; SWA 120; KRA 241-242; BEI 57; ORL 104-106; TRE.LIT 166; STR.MIS 95-97; MORA 11; PAS 280; THI 9; PAR.G04 10; ROM 81-82; PAP 57; ZER 80

## **10**. 1) *Εὐχὴ πιστῶν α' μετὰ τὸ ἁπλωθῆναι τὸ εἱλητόν.*

**ι'** 2) Σύ, Κύριε, κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον[a], σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς ⟦τῇ⟧ |[6v] τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος[b] εἰς τὴν διακονίαν ταύτην[c], ἵνα ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης[d] σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως[e]· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν[f]· δός, Κύριε, καὶ ὑπὲρ τῶν ‹ἡμετέρων› ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων[g] δεκτὴν γενέ‹σ›θαι τὴν θυσίαν ἡμῶν[h] καὶ εὐπρόσδεκτον[i] ἐνώπιόν σου. *Ἐκφώ(νησις)·* Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ[j] καὶ προσκύνησις τῷ πατρί.

[a]cfr. 1Tim 3,16 [b]Rom 15,13 [c]cfr. 2Cor 4,1; 1Tim 1,12 [d]Jd 24 [e]Hebr 15,13 [f]1Cor 12,6 [g]Hebr 9,7 [h]Philip 4,18; Rom 15,16 [i]1Petr 2,5 [j]cfr. 1Tim 1,17

= BUN.ANA 208-209; SWA 78; LEW 316-317; STR.BAR 10; ARR.EUC 542

+ GOAR 138; KRA 242-243; BEI 58; ORL 114-116; TRE.LIT 167; STR.MIS 97; MORA 12; PAS 282; THI 10; PAR.G04 11; ARR.EUC 471; ROM 82; PAP 58; ZER 81

## **11**. 1) *Εὐχὴ πιστῶν β'.*

**ια'** 2) Ὁ θεὸς ὁ ἐπισκεψάμενος |[7r] ἐν ἐλέει καὶ οἰκτιρμοῖς[a] τὴν ταπείνωσιν ἡμῶν[b], ὁ στήσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου κατενώπιον τῆς ἁγίας δόξης σου[c] λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, σὺ ἐνίσχυσον ἡμᾶς τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος[d] εἰς τὴν διακονίαν ταύτην[e], καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος[f] ἡμῶν εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ ἁγίου σου πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι δώρων. *Ἐκφώ(νησις)·* Ὅπως ὑπὸ τοῦ κράτου‹ς› σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν.

[a]Ps 102,4 [b]cfr. Lc 1,48 [c]Jd 24 [d]Lc 4,14; Rom 15,13 [e]cfr. 2Cor 4,1; 1Tim 1,12 [f]Eph 6,19

= BUN.ANA 209-210; SWA 78; LEW 317; STR.BAR 11; ARR.EUC 542-543

+ GOAR 138-139; KRA 243-244; BEI 59; ORL 122; TRE.LIT 167-168; STR.MIS 97; PAS 284; MORA 12; THI 11; PAR.G04 12; ARR.EUC 472-473; ROM 83; PAP 58; ZER 81-82

## **12**. 1) |[7v] *Εὐχὴ ἣν ποιεῖ ὁ ἱερεὺς ὑπὲρ ἑαυτοῦ τῶν χερουβικῶν λεγομένων.*

**ιβ'** 2) Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς[a] προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης[b]· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ ταῖς ἐπουρανίαις δυνάμεσιν ἀπρόσιτον· ἀλλ' ὅμως διὰ τὴν σὴν ἄφατον φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱε- |[8r] -ρουργίαν παρέδωκας ὡς δεσπότης τῶν ἀπάντων[c]. Σὺ γὰρ δεσπόζεις τῶν ἐπουρανίων καὶ ἐπιγείων[d], ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφεὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ[e], ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος[f]. Σὲ δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ[g] τὸν ἁμαρτωλὸν καὶ ἄχρειον δοῦλόν[h] σου, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος[i], ἐνδεδυμένον τὴν τῆς ἱερατείας |[8v] χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιόν σου σῶμα καὶ τὸ τίμιον αἷμα. Σοὶ γὰρ κλίνω τὸν ἐμαυτοῦ αὐχένα καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ[j], μὴ δὲ ἀποδοκιμάσῃς με ἐκ παίδων[1k] σου, ἀλλὰ ἀξίωσον προσενεχθῆναί σοι τὰ δῶρα ταῦτα καὶ ὑπ' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ ἁγιάζων καὶ ἁγιαζόμενος, Χριστὲ ὁ θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν {τῷ πατρὶ καὶ τῷ υἱῷ}.

[a]1Petr 2,11; Tit 3,3 [b]Ps 23,7 [c]cfr. Job 5,8; Sap 8,3 [d]1Par 29,11 [e]Soph 3,15; Io 1,49; 12,13 et a. [f]Is 57,15 [g]Ps 24,16 [h]Mt 25,30; cfr. Lc 17,10 [i]Lc 4,14; Rom 15,13 [j]Pss 26,9; 142,7 [k]Sap 9,4

= BUN.ANA 210-211; SWA 78-79; LEW 318; STR.BAR 12, TAFT 147; ARR.EUC 543-544

+ GOAR 58, 139; SWA 122-123; KRA 245-246; BEI 19, 59-60; ORL 126-130; TRE.LIT 71-76; STR.MIS 97-99; MORA 12-13; JAC.MES 1.14; PAS 285; THI 12, 29; PAR.G04 13; ARR.EUC 473-474; ROM 55-56, 83-84; PAP 40-41, 58-59; ZER 57, 82-83

**13.** 1) |[9r] *Εὐχὴ τῆς προσκομιδῆς τοῦ ἁγίου Βασιλείου μετὰ τὸ πληρῶσαι τὸν λαὸν τὸν μυστικὸν ὕμνον.*

**ιγ'** 2) Κύριε ὁ θεὸς ἡμῶν[a], ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν, σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονί-

[1] Cod. ποδων.

αν ταύτην[b] ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου[c]. Εὐδόκησον δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου διαθήκης[d], λειτουργοὺς τῶν ἁγίων σου μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος |**9v** τοῦ ἐλέους σου[e], ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν[f] ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων[g], ἣν προσδεξάμενος εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας[h], ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ ἁγίου σου πνεύματος. Ἐπίβλεψον ἐφ' ἡμᾶς, ὁ θεός, καὶ ἔφιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην καὶ πρόσδεξαι αὐτὴν |**10r** ὡς προσεδέξω Ἄβελ τὰ δῶρα[i], Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις[j], Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς[k]· ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτως καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ δῶρα ταῦτα ἐν τῇ χρηστότητί σου, Κύριε[l], ἵνα καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρο- |**10v** -νίμων οἰκονόμων[m] ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεώς[n] σου τῆς δικαίας. *Ἐκφώ(νησις)·* Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι.

3) *Καὶ μετὰ τὸ* Ἀμήν, *ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν.
4) *Ὁ λαός·* Καὶ τῷ πνεύματί σου.

5) *Ὁ διάκονος·* Ἀγαπήσωμεν ἀλλήλους[o].

6) *Καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην λέγει ὁ διάκονος·* Τὰς θύρας, τὰς θύρας· πρόσχωμεν.

7) *Ὁ λαὸς τὸ* Πιστεύω.

[a]Dan 9,15 (Theod.) et a. [b]1Tim 1,12; 2Cor 4,1 [c]Lc 4,14; Rom 15,13 [d]2Cor 3,6 [e]2Esdr 23,22; Pss 5,8; 68,14 [f]cfr. Rom 12,1 [g]Hebr 9,7 [h]Eph 5,2; Philip 4,18 [i]cfr. Gen 4,4 [j]cfr. Gen 22,13 [k]cfr. 1Regn 11,15 [l]Ps 118, 68 [m]Lc 12,42 [n]Os 9,7 [o]cfr. 1Petr 1,22

= BUN.ANA 211-212; SWA 79; LEW 319-320; STR.BAR 13; ARR.EUC 544-545

+ GOAR 140; KRA 247-250; BEI 61; ORL 146-152; TRE.LIT 171; STR.MIS 99; MORA 13-14; PAS 287; THI 13; PAR.G04 15; ARR.EUC 475-476; ROM 85-86; PAP 59-60; ZER 83-84

**14**. 1) *Καὶ με‹τὰ› τὸ* Πιστεύω *λέγει ὁ διάκονος·* Στῶμεν καλῶς.

2) *Ὁ ἱερεύς·* Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος εἴ‹η› μετὰ πάντων ὑμῶν[a].

3) *Ὁ λαός·* Καὶ μετὰ τοῦ πνεύματός σου[b].

4) |[11r] *Ὁ ἱερεύς·* Ἄνω σχῶμεν τὰς καρδίας.
5) *Ὁ λαός·* Ἔχομεν πρὸς τὸν Κύριον.

6) *Ὁ ἱερεύς·* Εὐχαριστήσωμεν τῷ Κυρίῳ[c].
7) *Ὁ λαός·* Ἄξιον καὶ δίκαιον.

8) *Καὶ ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς·*

9) Ὁ ὤν, δέσποτα, Κύριε[d] θεέ, πατὴρ παντοκράτωρ, προσκυνητέ, ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου[e] σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα θεόν, καὶ σοὶ προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως[f] τὴν λογικὴν ταύτην λατρείαν[g] ἡμῶν, |[11v] ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας[h]. Καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις σου[i] ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά[j] σου ἐν παντὶ καιρῷ; δέσποτα, δέσποτα τῶν ‹ἁπάντων›[k], Κύριε οὐρανοῦ καὶ γῆς[l] καὶ πάσης κτίσεως[m] ὁρωμένης τὲ καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης καὶ ἐπιβλέπων ἀβύσσους[n], ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε[1], ἀναλλοίωτε, ὁ πατὴρ τοῦ |[12r] Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[o] τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος τῆς ἐλπίδος ἡμῶν[p]· ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος[q], σφραγὶς ἰσότυπος, ἐν ἑαυτῷ δεικνὺς σὲ τὸν πατέρα[r], λόγος ζῶν, θεὸς ἀληθινός[s], ἡ πρὸ αἰώνων σοφία, ζωή[t], ἁγιασμός, δύναμις, τὸ φῶς τὸ ἀληθινόν[u], παρ' οὗ τὸ πνεῦμα τὸ ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας πνεῦμα[v], τὸ τῆς υἱοθεσίας[w] χάρισμα, ὁ ἀρραβὼν τῆς μελλούσης κληρονομίας[x], ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς |[12v] δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, παρ' οὗ πᾶσα κτίσις λογικὴ τὲ καὶ νοερὰ δυναμουμένη, σοὶ λατρεύει καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν, ὅτι τὰ σύμπαντα δοῦλα σά[y]. Σὲ γὰρ αἰνοῦσιν ἄγγελοι, ἀρχάγγελοι, θρόνοι, κυριότητες, ἀρχαί, ἐξου-

---

[1] Cod. απεριγραιπται.

σίαι[z], δυνάμεις, καὶ τὰ πολυόμματα[1aa] Χερουβείμ, σοὶ παρίστανται κύκλῳ τὰ Σεραφείμ, ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσιν τὰ πρόσωπα ἑαυτῶν καὶ ταῖς |**13r** δυσὶ τοὺς πόδας καὶ ταῖς δυσὶ πετόμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον[bb] ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις θεολογίαις. *Ἐκφώ(νησις)·* Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·

10) *Ὁ λαός·* Ἅγιος.

[a]2Cor 13,13 [b]2Tim 4,22 [c]cfr. Jdt 8,25 [d]cfr. Jer 1,6 [e]cfr. Ps 144,5 [f]Ps 50,19; Dan 3,39 [g]Rom 12,1 [h]cfr. 1Tim 2,4; Hebr 10,26 et a. [i]Ps 105,2 [j]Ps 25,7 [k]cfr. Job 5,8; Sap 8,3 [l]Mt 11,25 [m]3Mac 2,2 [n]Dan 3,54-55 [o]2Cor 1,3 [p]1Tim 1,1; Tit 2,13 [q]Sap 7,26 [r]cfr. Io 14,8 [s]1Io 5,20 [t]cfr. Io 14,6 [u]Io 1,9 [v]Io 14,17 [w]Rom 8,15 [x]Eph 1,14 [y]Ps 118,91 [z]Col 1,16 [aa]cfr. Ez 10,12 [bb]Is 6,2-3

= BUN.ANA 215-217; SWA 79-80; LEW 321-323; ENG 3-11; STR.BAR 14-15; ARR.EUC 546-548

+ GOAR 141; KRA 251-254; BEI 63-64; ORL 166-172; TRE.LIT 173-179; STR.MIS 101-103; MORA 15-16; PAS 289; THI 14; PAR.G04 16; ARR.EUC 477-479; ROM 87-88; PAP 61; ZER 85-86

**15**. 1) *Ὁ ἱερεὺς μυστικῶς λέγει·*

2) Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν· ἅγιος εἶ ὡς ἀληθῶς καὶ πανάγιος, καὶ οὐκ ἔστιν μέτρον τῆς μεγαλοπρέπειας τῆς ἁγιωσύνης σου[a], καὶ ὅσιος ἐν πᾶσιν τοῖς ἔρ- |**13v** -γοις σου, ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ[b] πάντα ἐπήγαγες ἡμῖν· πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς[c], καὶ εἰκόνι τῇ σῇ[d], ὁ θεός, τιμήσας αὐτόν, τέθηκας αὐτὸν ἐν παραδείσῳ τῆς τρυφῆς[e], ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ· ἀλλὰ παρακούσαντα[2] σοῦ τοῦ ἀληθινοῦ θεοῦ[f] τοῦ κτίσαντος αὐτὸν καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα[g], νεκρωθέντα τὲ αὐτὸν τοῖς |**14r** οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου, ὁ θεός, ἐκ τοῦ παραδείσου εἰς τὸν κόσμον τοῦτον[h], καὶ ἀπέστρεψας αὐτὸν εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη[i], οἰκονομῶν αὐτῷ τὴν ἐκ παλινγενεσίας σωτηρίαν τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου. Οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου εἰς τέλος[j], ὃ ἐποίησας, ἀγαθέ, οὐδὲ ἐπελάθου ἔργων χειρῶν σου[k], ἀλλ' ἐπεσκέψω πολυτρόπως διὰ σπλάχνα ἐλέους σου[l]· προφήτας

---

[1] Cod. πολλυομματα.

[2] Cod. παρακουσαντος.

ἐξαπέστειλας, |[14v] ἐποίησας δυνάμεις διὰ τῶν ἁγίων σου τῶν καθ' ἑκάστην γενεὰν καὶ γενεὰν εὐαρεστησάντων σοι· ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν προφητῶν[m], προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν[n]· ἀγγέλους ἐπέστησας φύλακας. Ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τῶν καιρῶν[o], ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ υἱῷ σου, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησας· ὃς ὢν ἀπαύγασμα[1] τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑπο- |[15r] -στάσεώς σου, φέρων τὲ τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ[p], οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ θεῷ[q] καὶ πατρί, ἀλλὰ θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη[r], καὶ ἐκ παρθένου ἁγίας σαρκωθείς, ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών[s], σύνμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα καὶ ἡμᾶς συμμόρφους ποιήσει τῆς εἰκόνος τῆς δόξης αὐτοῦ[t]. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν |[15v] κόσμον καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος[u], ηὐδόκησεν ὁ μονογενής σου υἱός, ὁ ὢν ἐν τοῖς κόλποις σοῦ τοῦ θεοῦ καὶ πατρός[v], γενόμενος ἐκ γυναικὸς τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον[w] κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ[x] αὐτοῦ, ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ Χριστῷ[y] σου· καὶ ἐνπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, |[16r] προσήγαγεν ἡμᾶς τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ θεοῦ[z] καὶ πατρός, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον[aa], βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον[bb]· καὶ καθαρίσας ἡμᾶς ἐν ὕδατι[cc] καὶ ἁγιάσας τῷ πνεύματι τῷ ἁγίῳ[dd], ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ τῆς ἁμαρτίας[ee]· καὶ κατελθὼν διὰ τοῦ σταυροῦ εἰς τὸν ᾅδην, ἵνα πληρώσει ἑαυτῷ τὰ πάντα[ff], ἔλυσεν τὰς ὠδῖνας τοῦ θανάτου[gg], καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ[hh] καὶ |[16v] ὁδοποιήσας πάσῃ σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι[ii] ὑπὸ τῆς φθορᾶς τὸν ἀρχ‹ηγ›ὸν τῆς ζωῆς[jj], ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων[kk], πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσιν πρωτεύων[ll]· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς[mm]· ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ[nn]· κατέλιπεν δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους ταῦτα, ἃ προτεθείκαμεν [...]

[1] Cod. ἀπαυασμα.

[a]Ps 144,5 [b]Dan 3,31 [c]Gen 2,7 [d]cfr. Gen 1,26.27 [e]Gen 3,23 [f]1Io 5,20 [g]cfr. Gen 3,1-4 [h]cfr. Gen 3,23-24 [i]Gen 3,19.23 [j]cfr. Dan 3,34 [k]Ps 137,8 [l]Lc 1,78 [m]Lc 1,70; Act 3,18 [n]Is 8,20 [o]Gal 4,4 [p]Hebr 1,2-3 [q]Philip 2,6 [r]Bar 3,38 [s]Philip 2,7 [t]Philip 3,21; Rom 8,29 [u]Rom 5,12 [v]Io 1,18 [w]Gal 4,4 [x]Rom 8,3 [y]1Cor 15,22 [z]Col 1,10; Io 17,3 [aa]Tit 2,14 [bb]1Petr 2,9 [cc]Eph 5,26 [dd]Rom 15,16 [ee]Rom 7,6.14 [ff]Eph 4,10 [gg]Act 2,24 [hh]1Cor 15,4 [ii]Act 2,24 [jj]Act 3,15 [kk]1Cor 15,20 [ll]Col 1,18 [mm]Hebr 1,3 [nn]Rom 2,6

= BUN.ANA 217-221; SWA 80-81; LEW 324-327; ENG 11-25; STR.BAR 16; ARR.EUC 548-551

+ GOAR 142-143; KRA 254-259; BEI 64-66; ORL 176-190; TRE.LIT 179-181; STR.MIS 103-105; MORA 16-18; PAS 290; THI 15; PAR.G04 17; ARR.EUC 479-482; ROM 89-91; PAP 62-63; ZER 86-88

**16**. 1) |**[17r]** [..........ὀρθοτο]μούντων τὸν λόγον τῆς σῆς ἀληθείας[a]. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου[b], καὶ τῆς ἐμῆς ἀναξιότητος· συνχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιον τὲ καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ ἁγίου σου πνεύματος ἀπὸ τῶν προκειμένων δώρων. Μνήσθητι, Κύριε, τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος, καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου θυσιαστήριον[c]. |**[17v]** Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου[d], Κύριε· ἐπιφάνηθι ἡμῖν τοῖς πλουσίοις σου οἰκτιρμοῖς, εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμβρους εἰρηνικοὺς τῇ γῇ πρὸς καρποφορίαν δώρησαι· εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου[e], Κύριε· παῦσον τὰ σχίσματα τῶν ἐκκλησιῶν· σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν[f]· τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον ἐν τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος[g]· πάντας ἡμᾶς πρόσδεξαι εἰς τὴν βασιλείαν σου υἱοὺς |**[18r]** φωτὸς καὶ υἱοὺς ἡμέρας[h], ἀναδείξας ἡμῖν τὴν σὴν εἰρήνην, καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, Κύριε ὁ θεὸς ἡμῶν[i], πάντα γὰρ ἀπέδωκας ἡμῖν[j]. *Ἐκφώ(νησις)·* Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν[k] καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν.

2) *Ὁ λαός·* Ἀμήν.

[a]2Tim 2,15 [b]Ps 50,3 [c]cfr. Ps 25,6 [d]Ps 105,4-5 [e]Ps 64,12 [f]cfr. Ps 2,1 [g]Lc 4,14; Rom 15,13 [h]1Thess 5,5 [i]Dan 9,15 (Theod.) et a. [j]Is 26,12 [k]Rom 15,6

= BUN.ANA 229-230; SWA 84-85; LEW 336-337; STR.BAR 17; ARR.EUC 556

+ GOAR 147; KRA 269-271; BEI 69-70; ORL 246-252; TRE.LIT 187-188; STR.MIS 111-112; MORA 23-24; JAC.POR 1; PAS 295; THI 19; PAR.G04 22; ARR.EUC 489-490; ROM 98-99; PAP 67; ZER 93

**17.** 1) *Ὁ ἱερεύς·* Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ[a] μετὰ πάντων ὑμῶν.

2) *Ὁ λαός·* Καὶ μετὰ τοῦ πνεύματός σου[b].

3) *Καὶ τοῦ διακόνου ποιοῦντος τὴν μέσην εὐχήν, ἐπεύχεται ὁ ἱερεύς·*

4) Ὁ θεὸς ἡμῶν, ὁ θεὸς τοῦ σώζειν[c], σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως τῶν εὐερ- |[18v] -γεσιῶν σου, ὧν ἐποίησας[d] καὶ ποιεῖς μεθ' ἡμῶν· σὺ εἶ ὁ θεὸς ἡμῶν ὁ προσδεξάμενος τὰ δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ δίδαξον ἡμᾶς ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ[e] σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν[f] ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ σώματι καὶ αἵματι τοῦ Χριστοῦ σου, καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν Χριστὸν κατοικοῦντα |[19r] ἐν ταῖς καρδίαις ἡμῶν[g] καὶ γενώμεθα ναὸς τοῦ ἁγίου σου πνεύματος[h]. Ναί, ὁ θεὸς ἡμῶν[i], καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων μυστηρίων[j], μὴ δὲ ἀσθενῆ ψυχῇ καὶ σώματι ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν[k], ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς ἀξίως ὑποδέχεσθαι τὴν ἐλπίδα τῶν ἁγιασμάτων σου εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου[l], |[19v] ὅπως ἂν καὶ ἡμεῖς, μετὰ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰώνων[m] σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν ὧν ἡτοίμασας τοῖς ἀγαπῶσίν σε[n], Κύριε. *Ἐκφώ(νησις)·* Καὶ καταξίωσον ἡμᾶς, δέσποτα, μετὰ παρρησίας[o] ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον θεὸν πατέρα καὶ λέγειν·

5) *Ὁ λαὸς τὸ* Πάτερ ἡμῶν.

6) *Ὁ ἱερεὺς ἐκφω(νεῖ)·* Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα[p] τοῦ πατρός.

[a]cfr. Tit 2,13 [b]2Tim 4,22 [c]Ps 67,21 [d]Tob 12,6 [e]2Cor 7,1 [f]2Cor 1,12 [g]Eph 3,17 [h]1Cor 6,19 [i]cfr. Ap 16,7 [j]cfr. 1Cor 11,27 [k]cfr. 1Cor 11,27.30 [l]2Cor 5,10 [m]Lc 1,70 [n]1Cor 2,9 [o]cfr. Act 2,29; Hebr 4,16 [p]Mt 6,13

= BUN.ANA 231-232; SWA 85; LEW 338-339; STR.BAR 18; ARR.EUC 557-558

+ GOAR 147-148; KRA 271-273; BEI 70-71; ORL 258-262; TRE.LIT 189-190; STR.MIS 113; MORA 24-25; JAC.POR 2; PAS 297; THI 20; PAR.G04 23; ARR.EUC 490-491; ROM 100; PAP 67-68; ZER 94

**18**. 1) *Καὶ μετὰ τὸ* Ἀμήν, *λέγει ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν.

2) *Καὶ τοῦ διακόνου λέγοντος* Τὰς κεφαλὰς ἡμῶν, *ἐπεύχεται ὁ ἱερεύς·*

3) |**20r** Δέσποτα Κύριε, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως[a], τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ[b] ἀπόστησον, παντὶ δὲ ἔργῳ ἀγαθῷ[c] σύναψον, καὶ καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων τούτων καὶ ζωοποιῶν σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν[d], εἰς πνεύματος ἁγίου κοινωνίαν[e]. *Ἐκφώ(νησις)·* Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ.

[a]2Cor 1,3 [b]2Tim 4,18 [c]Col 1,10 [d]Mt 26,28 [e]cfr. 2Cor 13,13

= BUN.ANA 232-233; SWA 85-86; LEW 340-341; STR.BAR 18; ARR.EUC 558

+ GOAR 148; KRA 274-275; BEI 73; ORL 270-272; TRE.LIT 190; STR.MIS 115; MORA 25; JAC.POR 3; PAS 298; THI 21, 68*; PAR.G04 24; ARR.EUC 492; ROM 101-102; PAP 68; ZER 95

**19**. 1) |**20v** *Εὐχὴ τῆς ὑψώσεως τοῦ ἄρτου.*

2) Πρόσχες, Κύριε[a] Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου[b] καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς[c], ὁ ἄνω τῷ πατρὶ συνκαθεζόμενος[1] καὶ ὧδε ἡμῖν ἀοράτως παρών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ[d] μεταδοῦναι ἡμῖν, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ σου.

3) *Καὶ μετὰ τὸ εἰπεῖν τὸν διάκονον* Πρόσχωμεν, *ὁ ἱερεὺς ὑψοῖ τὸν ἅγιον ἄρτον καὶ λέγει·* Τὰ ἅγια τοῖς ἁγίοις.

4) *Καὶ μετὰ τὸ εἰπεῖν τὸν λαὸν τὸ* Εἷς ἅγιος, *λαμβάνει ἐκ τοῦ ἁγίου σώματος μερίδας καὶ βάλλει εἰς τὰ ἅγια ποτήρια καὶ λέγει·* Εἰς πλήρωμα |**21r** πνεύματος ἁγίου.

[a]Dan 9,19 (Theod.) [b]cfr. 2Par 30,27; 3Regn 8,39 [c]cfr. Ps 79,3 [d]Deut 9,26

= BUN.ANA 233; SWA 86; LEW 341; STR.BAR 20; ARR.EUC 559

[1] Cod. συνσυνκαθεζόμενος.

+ GOAR 65, 148; SWA 136, 168; KRA 275-276; BEI 30, 73; ORL 272-274; TRE.LIT 129; STR.MIS 115; MORA 25; JAC.POR 4; THI 22; PAR.G04 25; ARR.EUC 493; ROM 70, 102; PAP 68-69, 49; ZER 69, 95 (cfr. n° 40)

**20**. 1) *Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, λέγοντος τοῦ διάκονος τὴν εὐχήν, ἐπεύχεται ὁ ἱερεύς·*

2) Εὐχαριστοῦμέν σοι, Κύριε ὁ θεὸς[a] ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων καὶ ἐπουρανίων σου μυστηρίων, ὧν ἔδωκας ἡμῖν ἐπὶ εὐεργεσίᾳ καὶ ἁγιασμῷ καὶ ἰάσει τῶν ψυχῶν ἡμῶν καὶ τῶν σωμάτων· αὐτός, δέσποτα τῶν ἁπάντων[b], δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου[c] εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην |[21v] ἀνυπόκριτον[d], εἰς πλησμονὴν σοφίας[e], εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου[f]. *Ἐκφώ(νησις)·* Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί.

[a]Ap 11,17 [b]cfr. Job 5,8; Sap 8,3 [c]cfr. 1Cor 10,16 [d]Rom 12,9 [e]Sir 1,16 [f]2Cor 5,10

= BUN.ANA 234-235; SWA 86; LEW 342-343; STR.BAR 21; ARR.EUC 559-560

+ GOAR 148-149; KRA 276-278; BEI 75; ORL 298-300; TRE.LIT 192; STR.MIS 115-117; MORA 26; JAC.POR 5; PAS 300; THI 23, 69*; PAR.G04 26; ARR.EUC 494; ROM 102-103; PAP 69; ZER 96

**21**. 1) *Ὁ διάκονος·* Ἐν εἰρήνῃ προέλθ(ωμεν).

2) *Εὐχὴ ἐπιστάμβωνος.*

3) Κύριε ὁ θεὸς ἡμῶν[a], σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου[b], τὸ πλή- |[22r] -ρωμα τῆς ἐκκλησίας σου ἐν εἰρήνῃ διαφύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου[c]· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς[d], ὁ θεός, τοὺς ἐλπίζοντας ἐπὶ σοί[e]· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν καὶ παντὶ τῷ λαῷ σου. Ὅτι ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ[f], καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τού‹ς› αἰῶνας τῶν αἰώνων. Ἀμήν[g].

[a]Dan 9,15 (Theod.) et a. [b]Ps 27,9 [c]Ps 25,8 [d]cfr. Ps 26,9 [e]cfr. Ps 16,7 [f]Ps 64,5d [g]4Mac 18,24

= BUN.ANA 235; SWA 86; LEW 343-344; STR.BAR 22; ARR.EUC 560

+ GOAR 68, 149; SWA 142, 170; KRA 278-279; BEI 34, 76-77; ORL 304-306; TRE.LIT 154; STR.MIS 117; MORA 26; JAC.MES 1.29,2; PAS (35); THI 24, 41; ARR.EUC 511-512; ARR.EUC 528; ROM 76, 103-104; PAP 52, 69-70; ZER 73, 96-97

**22.** 1) |[22v] *Εὐχὴ τοῦ σκευοφυλακίου.*

**ιδ'** 2) Ἤνυσται καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν, πάντα ἅπερ ἔθου ἡμῖν τὰ τῆς ἀφθαρσίας μυστήρια· ηὕραμεν τοῦ θανάτου σου τὴν μνήμην, ἴδαμεν τῆς ἀναστάσεώς σου τὸν τύπον, ἐνεπλήσθημεν τῆς ἀκενώτου σου τρυφῆς, ἀπηλαύσαμεν τῆς ἀτελευτήτου σου ζωῆς ἧς καὶ ἐν τῷ μέλλοντι πάντας ἡμᾶς τυχεῖν καταξίωσον, Χριστὲ ὁ θεὸς ἡμῶν. Ὅτι πρέπει σοι πᾶσα εὐχαριστεία σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν[a].

[a]4Mac 18,24

= BUN.ANA 235-236; SWA 86-87; LEW 344; STR.BAR 23; STR.HKT 397-399; ARR.EUC 561

+ GOAR 149; KRA 279-280; BEI 77; ORL 310-312; TRE.LIT 194; STR.MIS 117; MORA 27; JAC.POR 6; PAS 302; THI 71*; PAR.G04 28; ARR.EUC 495-496, 497; ROM 104; PAP 70; ZER 97

‹Литургия Иоанна Златоуста›

**23.** 1) |[23r] **ιε'** Κύριε ὁ θεὸς ἡμῶν[a], ὁ προθεὶς ἑαυτὸν ἀμνὸν ἄμωμον[b] ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς[c], ἔφιδε ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἄρτον τοῦτον καὶ ἐπὶ τὸ ποτήριον τοῦτο, καὶ ποίησον αὐτὸ ἄχραντόν σου σῶμα καὶ τίμιόν σου αἷμα εἰς μετάληψιν ψυχῶν καὶ σωμάτων. Ὅτι ἡγίασται καὶ δεδόξασται[1] τὸ πάντιμον καὶ μεγαλοπρεπές.

[a]Dan 9,15 (Theod.) et a. [b]1Petr 1,19 [c]Io 6,51

= GOAR 83; BUN.ANA 201; SWA 88; LEW 309; STR.BAR 24; PAR.FRA 158-159; ARR.EUC 529, 563

+ ORL 384, MAN 105; COD 130, 137, 168, 169; MORA 28; JAC.POR 20; PAS 306; PAR.FRA 161-162, 162, 163, 164, 166-167; PAR.G04 30

[1] Cod. δεδόξα(σ)θ(αι).

## **24**. 1) *Εὐχὴ τῆς εἰσόδου.*

**ιϛ'** 2) Εὐεργέτα καὶ τῆς κτίσεως πάσης δημιουργέ, πρόσδεξαι προσιοῦσαν |[23v] τὴν ἐκκλησίαν, καὶ ἑκάστου τὸ συμφέρον ἐκπλήρωσον[a], καὶ ἄγαγε πάντας εἰς τελειότητα, καὶ ἀξίους ἡμᾶς ἀπέργασαι[1] τῆς βασιλείας σου. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ μεθ' οὗ εὐλογητὸς εἶ.

[a]cfr. 1Cor 12,7

= GOAR 83; BUN.ANA 203; SWA 88; LEW 312; STR.BAR 25; JAC.EIS 36; FON.BYZ 73; ARR.EUC 529, 563

+ ORL 384; MORA 28; JAC.POR 22; PAS 5; PAR.G04 34

## **25**. 1) *Εὐχὴ τοῦ τρισαγίου.*

**ιζ'** 2) Ἅγιε ἁγίων ὁ θεὸς ἡμῶν, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος[a], ἅγιος ὑπάρχεις ὁ τὴν ἀνυπέρβλητον δόξαν ἐν αὐτῷ κεκτημένος. Ἅγιος ὁ θεός, ὁ λόγῳ τὰ πάντα συστησάμενος· ἅγιος ὁ θεός, ὃν τὰ τετράμορφα ζῷα ἀκα- |[24r] -ταπαύστῳ φωνῇ δοξάζουσιν[b]· ἅγιος ὁ θεός, ὁ ὑπὸ πλήθους ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων ἀορασίᾳ τρεμόντων προσκυνούμενος καὶ δοξολογούμενος· ἅγιος ὁ θεὸς ὁ τοῖς πολυόμμασιν Χερουβεὶμ[c] τῇ ἀσιγήτῳ φωνῇ, τῷ ἀκοιμήτῳ ὄμματι ἐπιβλέπων καὶ ἐπικλίνων τὸ οὖς σου· ἅγιος ὁ θεός, ὁ τοῖς ἑξαπτερύγοις Σεραφεὶμ ἐποχούμενος, καὶ κροτούντων τὰς ἑαυτῶν πτέρυγας καὶ τὸν ἐπινίκιον ὕμνον ὑμνούντων, |[24v] τὸ Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ[d] προσδεχόμενος. Ἅγιος γὰρ εἶ, ὁ θεὸς ἡμῶν, ὃν ἀρχαὶ καὶ ἐξουσίαι, κυριότητες[e] ἐν οὐρανῷ προσκυνοῦσιν, καὶ ἐπὶ γῆς ἄνθρωποι ἀνυμνοῦσιν καὶ σέβουσιν· αὐτός, φιλάνθρωπε, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον προσφερόμενον παρ' ἡμῶν καὶ παρὰ παντὸς τοῦ λαοῦ σου, καὶ κατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμούς σου, πρεσβείαις τῆς ἁγίας θεοτόκου καὶ πάντων |[25r] τῶν ἁγίων τῶν ἀπ' αἰῶνός[f] σοι εὐαρεστησάντων. *Ἐκφώ(νησις)·* Ὅτι ἅγιος εἶ, ὁ θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ[g], καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

[a]Is 57,15 [b]Ap 4,8 [c]cfr. Ez 10,12 [d]Is 6,3 [e]Col 1,16 [f]cfr. Lc 1,70 [g]cfr. Is 57,15

[1] Cod. ἀπηργασε.

= GOAR 83; BUN.ANA 204-205; SWA 88; LEW 313-314; STR.BAR 26; FON.BYZ 73-74; ARR.EUC 529-530, 564-565

+ DMITR 686, VARIA 191; ORL 384-386; COD 131; MORA 28-29; JAC.POR 23; PAS 8, 320; PAR.PET 307; PAR.G04 35

## **26**. 1) *Εὐχὴ τῆς καθέδρας τοῦ θυσιαστηρίου.*

**ιη'** 2) Δέσποτα Κύριε ὁ θεὸς τῶν δυνάμεων[a], σῶσον τὸν λαόν σου[b] καὶ εἰρήνευσον αὐτὸν τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος[c], διὰ τοῦ τύπου τοῦ τιμίου σταυροῦ τοῦ μονογενοῦς σου υἱοῦ μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν[d].

[a]Ps 83,9 [b]Ps 27,9 [c]Rom 15,13 [d]4Mac 18,24

= GOAR 83; BUN.ANA 205; SWA 89; LEW 314; STR.BAR 27; MORA 29; FON.BYZ 73; PAR.CAT 52; ARR.EUC 530-531, 565

+ GOAR 150; SWA 77; ARR.ORT 129; ROM 49; PAR.CAT 52-53 (cfr. n° 7.2)

## **27**. 1) *Εὐχὴ τῆς ἐκτενῆς.*

**ιθ'** 2) Κύριε ὁ θεὸς ἡμῶν[a], τὴν ἐκτενὴν ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον |[25v] ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου[b], καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος[c]. *Ἐκφώ(νησις)·* Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν.

[a]Dan 9,15 (Theod.) et a. [b]2Esdr 23,22; Pss 5,8; 68,14 [c]cfr. Eph 2,4

= BUN.ANA 206; SWA 89; LEW 314-315; STR.BAR 28; ARR.EUC 565

+ GOAR 56, 137; SWA 118-119; BEI 15, 56; TRE.LIT 59; STR.MIS 95; MORA 29; JAC.POR 24; JAC.MES 1.10; PAS 12; THI 8, 48; PAR.PET 307; PAR.G04 36; ROM 51; PAP 38, 57; ZER 54, 79 (cfr. n° 8.2)

## **28**. 1) *Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς τοῦ Χρυσοστόμου.*

**κ'** 2) Κύριε ὁ θεός ἡμῶν[a], ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν[b], ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου υἱὸν[c] καὶ θεὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς |[26r] κατηχουμένους τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα, καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ[d] τῆς τοῦ

λουτροῦ παλινγενεσίας[e], τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ. *Ἐκφώ(νησις)·* Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσιν τὸ πάντιμον καὶ μεγαλοπρεπές.

[a]Dan 9,15 (Theod.) et a. [b]Ps 112,5-6 [c]cfr. 1Io 4,9 et a. [d]Ps 31,6 [e]Tit 3,5

= BUN.ANA 207; SWA 89; LEW 315-316; STR.BAR 29; ARR.EUC 566

+ GOAR 56-57; SWA 120; KRA 241-242; BEI 16-17; ORL 386-387; TRE.LIT 64-65; STR.MIS 119; MORA 29; JAC.POR 25; JAC.MES 1.11; PAS 14; THI 26; PAR.G04 37; ARR.EUC 499; ROM 53; PAP 39; ZER 55

## **29**. 1) *Εὐχὴ πιστῶν*[1] *α' μετὰ τὸ ἀπλωθῆναι τὸ εἰλητόν.*

**κα'** 2) Εὐχαριστοῦμέν σοι, Κύριε |[26v] ὁ θεὸς τῶν δυνάμεων[a], τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων[b]. Πρόσδεξαι, ὁ θεός, τὴν δέησιν ἡμῶν, καὶ ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας[c] καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθ‹ο›υ εἰς τὴν διακονίαν[d] σου ταύτην, ἐν τῇ δυνάμει |[27r] τοῦ πνεύματός σου τοῦ ἁγίου[e] ἀκαταγνώστως καὶ ἀπροσκόπως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν[f] ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ[g], ἵνα εἰσακούων ἡμῶν ἵλεως ἡμῶν ἔσει[h] ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος. *Ἐκφώ(νησις)·* Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ[i] καὶ προσκύνησις.

[a]Ap 11,17; Ps 83,9 [b]Hebr 9,7 [c]Hebr 5,7 [d]1Tim 1,12; cfr. 2Cor 4,1 [e]Lc 4,14; Rom 15,13 [f]2Cor 1,12 [g]cfr. Sap 19,22; 1Cor 1,2 [h]3Regn 8,34 [i]cfr. 1Tim 1,17

= BUN.ANA 208-209; SWA 89; LEW 316-317; STR.BAR 30; ARR.EUC 566-567

+ GOAR 57; SWA 120; KRA 242-243; BEI 17-18; ORL 388; TRE.LIT 65-67; STR.MIS 119; MORA 30; JAC.POR 26; JAC.MES 1.12; PAS 15; THI 27; PAR.G04 38; ARR.EUC 500; ROM 53-54; PAP 39-40; ZER 56

## **30**. 1) *Εὐχὴ πιστῶν β'.*

---

[1] Cod. πιστος.

**κβ'** 2) Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν[a], καθαρίσεις ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ |[27v] σαρκὸς καὶ πνεύματος[b], καὶ δὸς ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου· χάρισαι δέ, ὁ θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς[c]· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύοντάς σοι ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων[d] σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι[e]. *Ἐκφώ(νησις)·* Ὅπως ὑπὸ τοῦ κράτου‹ς› σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν.

[a]3Regn 8,28 [b]2Cor 7,1 [c]Col 1,9 [d]cfr. 1Esdr 5,40 [e]2Thess 1,5; 2Tim 4,18

= BUN.ANA 209-210; SWA 89; LEW 317; STR.BAR 31; ARR.EUC 567

+ GOAR 57-58; SWA 121; KRA 244; BEI 18; ORL 388-390; TRE.LIT 68-70; STR.MIS 119-121; MORA 30; JAC.POR 27; JAC.MES 1.13; PAS 16; THI 28; PAR.G04 39; ARR.EUC 500-501; ROM 54-55; PAP 40; ZER 56

**31**. 1) |[28r] *Εὐχὴ τῆς προσκομιδῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου μετὰ τὸ ἀποτεθῆναι τὰ ἅγια δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ πληρῶσαι τὸν λαὸν τὸν μυστικὸν ὕμνον.*

**κγ'** 2) Κύριε ὁ θεὸς ὁ παντοκράτωρ[a], ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως[b] παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ[c], πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρα καὶ θυσίας πνευματικὰς[d] ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν |[28v] τοῦ λαοῦ ἀγνοημάτων[e], καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν[f] ἐνώπιόν σου τοῦ γενέσθαι εὐπρόσδεκτον τὴν θυσίαν[g] ἡμῶν καὶ ἐπισκηνῶσαι τὸ πνεῦμα τῆς χάριτός σου[h] τὸ ἀγαθὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ἐπὶ πάντα τὸν λαόν σου. *Ἐκφώ(νησις)·* Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου υἱοῦ μεθ' ‹οὗ› εὐλογητός.

3) *Ὁ λαός·* Ἀμήν.

4) *Ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν.
5) *Ὁ λαός·* Καὶ τῷ πνεύματί σου.

6) *Ὁ διάκονος·* Ἀγαπήσωμεν ἀλλήλους[i].

7) *Καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην λέγει ὁ διάκονος·* Τὰς θύρας, τὰς θύρας· πρόσχωμεν.

8) *Ὁ λαὸς τὸ* Πιστεύω.

[a]Am 4,13 et a. [b]Hebr 13,15 [c]Ps 9,2 [d]Hebr 5,1; 1Petr 2,5 [e]Hebr 9,7 [f]Hebr 4,16 [g]Rom 15,16; 1Petr 2,5 [h]Hebr 10,29 [i]cfr. 1Petr 1,22

= BUN.ANA 211-212; SWA 90; LEW 319-320; STR.BAR 32; ARR.EUC 568

+ GOAR 59; SWA 125; KRA 247; BEI 20; ORL 380; TRE.LIT 87; STR.MIS 121; MORA 30-31; JAC.POR 28; JAC.MES 1.16; PAS 18; THI 30; PAR.G04 42; ARR.EUC 501-502; ROM 59; PAP 43; ZER 60

**32**. 1) *Λέγει ὁ διάκων·* Στῶμεν καλῶς.
2) |**29r** *Ὁ λαός·* Ἔλεος, εἰρήνη[a].

3) *Ὁ ἱερεὺς λέγει·* Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος εἴη μετὰ πάντων ὑμῶν[b].

4) *Ὁ λαός·* Καὶ μετὰ τοῦ πνεύματός σου[c].

5) *Ὁ ἱερεύς·* Ἄνω σχῶμεν τὰς καρδίας.
6) *Ὁ λαός·* Ἔχομεν πρὸς τὸν Κύριον.

7) *Ὁ ἱερεύς·* Εὐχαριστήσωμεν τῷ Κυρίῳ[d].
8) *Ὁ λαός·* Ἄξιον καὶ δίκαιον.

9) *Ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφ[ορᾶς]·*

10) Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σοὶ εὐχαρ[ι]στεῖν[e], σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου[f]· σὺ γὰρ εἶ θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σὺ καὶ |**29v** ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι[g] ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας[1] ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμεν σοὶ καὶ τῷ μονογενεῖ σου υἱῷ καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν |**30r** εὐεργεσιῶν σου τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ

[1] Cod. παραπεσωτας.

ὑπὲρ τῆς λειτουργίας ταύτης ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι καταξίωσον· καίτοι[1] σοι παρειστήκεισαν χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες[h] ἀγγέλων, τὰ Χερουβεὶμ καὶ τὰ Σεραφεὶμ ἑξαπτέρυγα, πολυόμματα[i], μετάρσια, πτερωτά. *Ἐκφώ(νησις)·* Τὸν ἐπινίκιον ὕμνον ἄδοντα.

[a]1Tim 1,2 et a. [b]2Cor 13,13 [c]2Tim 4,22 [d]cfr. Jdt 8,25 [e]cfr. 2Thess 1,3 [f]Ps 102,22 [g]Sap 1,14 [h]Dan 7,10; Hebr 12,22 [i]cfr. Ez 10,12

= BUN.ANA 215-216; SWA 90; LEW 321-323; STR.BAR 33-34; PAR.ANA 125-126; ARR.EUC 569-570

+ GOAR 60-61; SWA 128; KRA 251-253; BEI 23-24; ORL 390-392; TRE.LIT 101-105; STR.MIS 123; MORA 32; JAC.POR 30; JAC.MES 1.18; PAS 21; PAR.ANA 140-141; THI 31; PAR.G04 43; ARR.EUC 502-503; ROM 62; PAP 44-45; ZER 62

**33.** 1) *Ὁ ἱερεὺς μυστικῶς·*

2) Μετὰ τούτων καὶ ἡμεῖς τῶν δυνάμεων, δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· ἅγιος εἶ καὶ πανάγιος |[30v] καὶ ὁ μονογενής σου υἱὸς καὶ τὸ πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα[a] σου· ὃς τὸν κόσμον οὕτως ἠγάπησας, ὥστε τὸν υἱόν σου τὸν μονογενὴν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον[b]. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτόν, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἔκλασεν |[31r] καὶ ἔδωκεν[c] τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς[d] καὶ ἀποστόλοις, εἰπών·

3) *Ἐκφώ(νως)·* Λάβετε, φάγετε, τοῦτό ἐστιν τὸ σῶμά μοῦ, τὸ ὑπὲρ ὑμῶν[e].

4) Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων[f]·

5) *Ἐκφώ(νως)·* Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστιν τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν[g].

6) *Ὁ λαός·* Ἀμήν.

---

[1] Cod. καιτοις.

[a]Ps 144,12; 2Petr 1,17 [b]Io 3,16 [c]cfr. 1Cor 11,23-24; Lc 22,19 [d]Mt 26,26 [e]Mt 26,26 et a.; 1Cor 11,24 [f]Lc 22,20; 1Cor 11,25 [g]Mt 26, 27-28; Lc 22,20; Mc 14,24

= BUN.ANA 217-222; SWA 91; LEW 324-328; STR.BAR 35-36; PAR.ANA 127-128; ARR.EUC 570-571

+ GOAR 61; SWA 128-129; KRA 254-255; BEI 24-25; ORL 392-394; TRE.LIT 106-109; STR.MIS 123; MORA 32-33; JAC.POR 31-32; JAC.MES 1.19; PAS 22-23; PAR.ANA 141-142; THI 32; PAR.G04 44; ARR.EUC 503-504; ROM 62-63; PAP 45; ZER 63

**34**. 1) *Ὁ ἱερεὺς μυστικῶς·*

2) Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων· τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, |**[31v]** τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

3) *Ἐκφώ(νως)·* Τὰ σὰ ἐκ τῶν σῶν[a] σοὶ προσφέροντες κατὰ πάντα καὶ διὰ πάντα.

4) *Ὁ λαός·* Σὲ ὑμνοῦμεν.

[a]cfr. 1Par 29,14

= BUN.ANA 222-223; SWA 91; LEW 328-329; STR.BAR 37; PAR.ANA 128; ARR.EUC 571

+ GOAR 61-62; SWA 129-130; KRA 260-261; BEI 25; ORL 394; TRE.LIT 109-110; STR.MIS 125; MORA 33; JAC.POR 33; JAC.MES 1.20; PAS 24; PAR.ANA 142; THI 33; PAR.G04 45; ARR.EUC 504-505; ROM 63-64; PAP 45; ZER 64

**35**. 1) *Ὁ ἱερεὺς μυστικῶς λέγει·*

2) Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν[a], καὶ παρακαλοῦμεν καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

3) *Καὶ ἀνιστάμενος σφραγίζει, λέγων μυστικῶς·*

4) |**[32r]** Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον[1] σῶμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. Ἀμήν.

5) Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ. Ἀμήν.

---

[1] Cod. τημιμιον.

6) *Ὁ ἱερεὺς μυστικῶς·*

7) Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νίψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου πνεύματος[b], εἰς βασιλείας πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα[c] ἢ εἰς κατάκριμα.

[a]cfr. Rom 12,1 [b]2Cor 13,13 [c]1Cor 11,34

= BUN.ANA 223-224; SWA 91-92; LEW 329-330; STR.BAR 38; PAR.ANA 129; ARR.EUC 572

+ GOAR 62; SWA 130-131; KRA 261-263; BEI 25; ORL 394-396; TRE.LIT 111-115; STR.MIS 125; MORA 33; JAC.POR 34; JAC.MES 1.21; PAS 25; PAR.ANA 143; THI 34; PAR.G04 46; ARR.EUC 505-506; ROM 64-65; PAP 46-47; ZER 64-65

**36**. 1) |[32v] Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν[a] ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς δικαίου ἐν πίστει τετελειωμένου[b].

2) *Ἐκφώ(νως)·* Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερενδόξου, εὐλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

3) Τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ, καὶ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ τοῦ ἁγίου |[33r] *τοῦδε* οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐ[π'] ἐλπίδι ἀναστάσεως[c], ζωῆς αἰωνίου, καὶ ἀνάπαυσον αὐτοὺς ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου[d].

[a]Rom 12,1 [b]Hebr 12,23 [c]Act 23,6 [d]Ps 4,7

= BUN.ANA 223-229; SWA 92; LEW 331-332; STR.BAR 39; ARR.EUC 573-574

+ GOAR 62-63; SWA 131-132; KRA 263-264; BEI 25-26; ORL 396,TRE.LIT 115-120; STR.MIS 125-127; MORA 33-34; JAC.POR 35; JAC.MES 1.22; PAS 25-26; THI 35; PAR.G04 47; ARR.EUC 506-507; ROM 65-66; PAP 47; ZER 65-66

**37**. 1) Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας[a], παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ |[33v] διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος.

2) Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν[b] ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων.

3) Ὑπὲρ τῶν ἐν ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς[c].

4) Ὑπὲρ τῶν πιστοτάτων βασιλέων, τῆς φιλοχρίστου βασιλίσσης, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν· δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βα- |**34r** -σίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι[d].

5) Μνήσθητι, Κύριε, τῆς πόλεως ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει κατοικούντων ἐν αὐταῖς.

6) *Ἐκφώ(νως)·* Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν *τοῦδε.*

7) Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν· μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων[1] ἐν ταῖς ἁγίαις σου ἐκκλη- |**34v** -σίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον. *Ἐκφώ(νως)·* Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν[e] καί.

[a]2Tim 2,15 [b]Rom 12,1 [c]Hebr 11,38 [d]1Tim 2,2 [e]Rom 15,6

= BUN.ANA 229-230; SWA 92-93; LEW 332-337; STR.BAR 39; ARR.EUC 574-575

+ GOAR 63; SWA 132-134; KRA 265-269; BEI 26-27; ORL 396-398; TRE.LIT 120-124; STR.MIS 127; MORA 34-35; JAC.POR 35; JAC.MES 1.23; PAS 27; THI 36; PAR.G04 48; ARR.EUC 507-509; ROM 66-67; PAP 47-48; ZER 66-67

**38**. 1) Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ[a].

2) *Ὁ διάκονος·* Πάντων τῶν ἁγίων.

3) *Ὁ ἱερεὺς μυστικῶς·*

4) Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν, καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν

---

[1] Cod. καριεργουντων.

μυστηρίων |[36r] ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συνχώρησιν πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν[b], εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα[c] μὴ δὲ εἰς κατάκριμα.

5) *Ὁ διάκων·* Ἀντιλαβοῦ.

6) Τὴ‹ν› ἡμέ‹ραν› πᾶσαν.

7) *Ὁ ἱερεύς·* Καὶ καταξίωσον ἡμᾶς.

8) *Ὁ λαός·* Πάτερ ἡμῶν.

9) *Ὁ ἱερεὺς ἐκφω(νεῖ)·* Ὅτι σοῦ ἐστιν ἡ βασιλεία[d].

10) *Ὁ λαός·* Ἀμήν.

[a]Tit 2,13 [b]2Cor 13,13 [c]1Cor 11,34 [d]Mt 6,13

= BUN.ANA 231; SWA 93; LEW 338; STR.BAR 40; ARR.EUC 576

+ GOAR 64; SWA 135; KRA 271-272; BEI 27-28; ORL 400; TRE.LIT 125-126; STR.MIS 127; MORA 35; JAC.POR 36; JAC.MES 1.24; PAS 30; THI 37; PAR.G04 49; ARR.EUC 509; ROM 68; PAP 48; ZER 67-68

**39**. 1) *Ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν.

2) *Ὁ διάκονος·* Τὰς κεφαλὰς ἡμῶν.

3) *Ὁ ἱερεὺς μυστικῶς·*

4) Εὐχαριστοῦμέν σοι, |[36v] βασιλεῦ ἀόρατε[a], ὁ τῇ ἀμετρήτῳ σου δυνάμει δημιουργήσας τὰ πάντα, καὶ τῷ πλήθει τοῦ ἐλέους σου[b] ἐξ[1] οὐκ ὄντων εἰς τὸ εἶναι[c] παραγαγὼν τὰ συμπάντα· αὐτός, δέσποτα, οὐρανόθεν ἔφιδε ἐπὶ τοὺς κεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι[d], ἀλλὰ σοὶ τῷ φοβερῷ θεῷ. Σὺ οὖν, δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον[e] κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσιν σύμ- |[35r] -πλευσον, τοῖς ὁδοιποροῦσιν συνόδευσον, τοὺς νοσοῦντας[2] ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. *Ἐκφώ(νως)·* Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ.

[a]cfr. 1Tim 1,17 [b]cfr. 2Esdr 23,22; Pss 5,8; 68,14 [c]Sap 1,14 [d]Mt 16,17 [e]Rom 8,28

[1] Cod. ἐκξ.

[2] Cod. νοσσουντας.

= BUN.ANA 232-233; SWA 93; LEW 340-341; STR.BAR 41; ARR.EUC 576-577

+ GOAR 65; SWA 136; KRA 274-275; BEI 29-30; ORL 400; TRE.LIT 128-129; STR.MIS 129; MORA 36; JAC.POR 37; JAC.MES 1.25; PAS 32, REY 302; THI 38; PAR.G04 50; ARR.EUC 510; ROM 70; PAP 49; ZER 68-69

**40**. 1) *Ὁ ἱερεύς·*

2) Πρόσχες, Κύριε[a] Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου[b], καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς[c]· ὁ ἄνω τῷ πατρί συνκαθεζόμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών, καταξίωσον τῇ κραταιᾷ σου χειρὶ[d] μεταδοῦναι ἡμῖν καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ σου.

3) |[35v] *Ὁ διάκονος·* Πρόσχωμεν.

4) *Ὁ ἱερεύς·* Τὰ ἅγια τοῖς ἁγίοις.

5) *Ὁ λαός·* Εἷς ἅγιος.

6) *Καὶ μετὰ τὸ εἰπεῖν τὸν λαὸν τὸ* Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός[e], *λαμβάνει ἐκ τοῦ ἁγίου σώματος μερίδας καὶ βάλλει εἰς τὰ ἅγια ποτήρια καὶ λέγει·* Εἰς πλήρωμα πνεύματος ἁγίου.

[a]Dan 9,19 (Theod.) [b]cfr. 2Par 30,27; 3Regn 8,39; Ps 32,14 [c]cfr. Ps 79,3 [d]Deut 9,26 [e]Philip 2,11

= BUN.ANA 233; SWA 93-94; LEW 341; STR.BAR 42; ARR.EUC 577

+ GOAR 65; SWA 136; BEI 30, 73; STR.MIS 129; TRE.LIT 129; MORA 36; JAC.MES 1.26; PAS 33, REY 302; THI 39; PAR.G04 51; ARR.EUC 510-511; ROM 70, 102; PAP 49, 68-69; ZER 69, 95 (cfr. n° 19.2)

**41**. 1) *Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, λέγοντος τοῦ διακόνου τὴν εὐχήν, ἐπεύχεται ὁ ἱερεὺς μυστικῶς·*

2) Εὐχαριστοῦμέν σοι, δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὁ καὶ τῇ παρούσῃ ἡμέρᾳ καταξιώσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν[a], σῶσον ἡμᾶς |[38r] ἐν τῷ φόβῳ σου τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἁγίας, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰώνων σοι[b] εὐαρεστησάντων. *Ἐκφώ(νως)·* Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς

ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν[c].

3) *Ὁ διάκονος·* Ἐν εἰρήνῃ προέλθωμεν.

4) *Ὁ λαός·* Ἐν ὀνόματι Κυρίου.

[a]Prov 3,6 [b]Lc 1,70 [c]4Mac 18,24

= BUN.ANA 234-235; SWA 94; LEW 342-343; STR.BAR 43; ARR.EUC 578

+ GOAR 67; SWA 141-142; KRA 276-277; BEI 32-33; ORL 404; TRE.LIT 153; STR.MIS 131; MORA 37; JAC.POR 40; JAC.MES 1.28; PAS 34; THI 40; PAR.G04 56; ARR.EUC 511; ROM 74; PAP 51; ZER 72

**42**. 1) |[38v] *Ἐν δὲ τῷ λυχνικῷ μετὰ τὰ ἀναγνώσματα καὶ τὸ* Κατευθυνθήτω (Ps 140,2) *καὶ τὸ* Κύριε ἐλέησον, *γίνεται εὐχὴ κατηχουμένων ἐπὶ τῶν προηγιασμένων.*

**κδ'** 2) Ὁ θεὸς ὁ θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων[a], ὁ πάντας θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν[b], ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης καὶ τῆς με- |[37r] -θοδίας τοῦ ἀντικειμένου, καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ συνκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ ἐφ᾽ ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται[1c]. *Ἐκφώ(νησις)·* Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσιν.

[a]cfr. Sir 24,8 [b]1Tim 2,4 [c]Jer 14,9; cfr. Dan 9,18

= SWA 95; LEW 346-347; STR.BAR 44; MORA-P 53; ARR.EUC 579

+ GOAR 165; SWA 180; TRE.LIT 208; JAC.POR 117; FON.PRO 45; JAC.MES 3.7; THI 49; ARR.EUC 515-516; ROM 120-121; PAP 80; ZER 111-112

**43**. 1) *Εὐχὴ εἰς τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους.*

**κε'** 2) Ἐπίφανον, δέσποτα, τὸ πρόσωπόν σου[a] ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους |[37v] καὶ ἐπιποθοῦντας τὸν τῆς ἁμαρτίας μολυσμὸν ἀποτινάξασθαι· καταύγασον[2] αὐτῶν τὴν διάνοιαν, βεβαίωσον

[1] Cod. ἐπικεκλην(ται).

[2] Cod. καταυασον.

αὐτοὺς ἐν τῇ πίστει, στήριξον αὐτοὺς ἐπ' ἐλπίδι, τελείωσον ἐν ἀγάπῃ[b], μέλη τίμια τοῦ Χριστοῦ[c] σου ἀνάδειξον τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον[d] ὑπὲρ τῶν ψυχῶν ἡμῶν. *Ἐκφώ(νησις)·* Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

[a]Ps 118,135 [b]1Io 4,18 [c]1Cor 6,15 [d]1Tim 2,6

= SWA 96; LEW 347; STR.BAR 45; MORA-P 54; ARR.EUC 579-580

+ GOAR 165; SWA 181; TRE.LIT 211; JAC.POR 118; FON.PRO 46; JAC.MES 3.8; THI 50; ARR.EUC 517; ROM 122; PAP 81; ZER 113

## **44**. 1) *Εὐχὴ πιστῶν α'.*

**κϛ'** 2) Ὁ θεὸς ὁ μέγας καὶ αἰνετός[a], ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ σου θανάτῳ |**39r** εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας[b], σὺ πάσας ἡμῶν τὰς αἰσθήσεις τῆς ἐνπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας· καὶ ὀφθαλμὸς μὲν ἀμέτοχος ἔστω παντὸς πονηροῦ βλέμματος, ἀκοὴ δὲ λόγοις ἀργοῖς[c] ἀνεπίβατος, ἡ δὲ γλῶσσα καθαρευέτω ῥημάτων ἀπρεπῶν· ἅγνισον δὲ ἡμῶν καὶ τὰ χείλη τὰ αἰνοῦντά σε, Κύριε, τὰς δὲ χεῖρας ἡμῶν |**39v** ποίησον τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δὲ μόνα τὰ σὰ εὐάρεστα, πάντα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν τῇ σῇ κατασφαλιζόμενος χάριτι. *Ἐκφώ(νησις)*[1]· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ[d] καὶ προσκύνησις.

[a]Ps 47,2 [b]cfr. 1Cor 15, 50 ss. [c]cfr. Mt 12,36 [d]cfr. 1Tim 1,17

= SWA 96; LEW 347-348; STR.BAR 46; MORA-P 55; ARR.EUC 580

+ GOAR 166; SWA 182; TRE.LIT 211-212; JAC.POR 119; FON.PRO 47; JAC.MES 3.9; THI 51; ARR.EUC 517-518; ROM 122-123; PAP 81; ZER 113-114

## **45**. 1) *Εὐχὴ πιστῶν β'.*

**κζ'** 2) Δέσποτα, ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον[a] ἵλεων γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀξίους ἡμᾶς ποίησον τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου υἱοῦ καὶ θεοῦ ἡμῶν, τοῦ βασιλέως τῆς δόξης[b]· ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ |**40r** σῶμα καὶ ζωοποιὸν αἷμα

---

[1] Cod. εκκφω(νησις)

κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα, τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει τραπέζῃ ὑπὸ πλήθους στρατιᾶς οὐρανίου[c] ἀοράτως δορυφορούμενα, ὧν τὴν μετάληψιν ἀκατακρίτως[d] ἡμῖν δώρησαι ἵνα δι᾽ αὐτῶν τὸ τῆς διανοίας ὄμμα καταυγαζόμενοι[1], υἱοὶ φωτὸς καὶ ἡμέρας[e] γενώμεθα. *Ἐκφώ(νησις)·* Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου μεθ' ‹οὗ› εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ.

[a]cfr. Eph 2,4 [b]Ps 23,7.8 [c]Lc 2,13 [d]cfr. 1Cor 11,34 [e]1Thess 5,5

= SWA 96; LEW 348; STR.BAR 47; MORA-P 55; ARR.EUC 581

+ GOAR 166; SWA 182-183; TRE.LIT 212; JAC.POR 120; FON.PRO 48; JAC.MES 3.10; THI 52; ARR.EUC 518-519; ROM 123; PAP 82; ZER 114

**46**. 1) *Καὶ μετὰ τὸ πληρωθῆναι τὸ* Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν, *ὁ ἱερεὺς ἐπεύχεται·*

2) |[40v] Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων θεός, παρ' ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι[a], ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης[b] ἀποκαλύψας ἡμῖν καὶ θέμενος ἡμᾶς[c] τοὺς ἁμαρτωλοὺς διὰ πολλήν σου φιλανθρωπίαν εἰς τὸ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων[d] καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων[e]· αὐτός, ἀόρατε βασιλεῦ[f], ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν |[41r] οὐκ ἔστιν ἀριθμός[g], ἔφιδε ἐφ᾽ ἡμᾶς τοὺς ἀναξίους δούλου‹ς› σου τοὺς τῷ ἁγίῳ τούτῳ θυσιαστηρίῳ ὡς τῷ χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ᾽ ᾧ ὁ μονογενής σου υἱὸς καὶ θεὸς ἡμῶν διὰ τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται μυστηρίων, καὶ πάσης[2] ἡμᾶς καὶ τὸν πιστόν σου λαὸν ἐλευθερώσας ἀκαθαρσίας, ἁγίασον πάντων ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἁγιασμῷ ἀναφαιρέτῳ, |[41v] ἵνα ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ, πεφωτισμένῃ καρδίᾳ τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων, καὶ ὑπ᾽ αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ Χριστῷ σου τῷ ἀληθινῷ ἡμῶν θεῷ τῷ εἰπόντι· Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ[h], ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐνπεριπατοῦντος[i] τοῦ λόγου σου[j], Κύριε, γενώμεθα ναὸς τοῦ ἁγίου |[42r] καὶ

[1] Cod. καταυαζομενοι.
[2] Cod. σκεπασης.

προσκυνητοῦ σου πνεύματος[k], λελυτρωμένοι πάσης διαβολικῆς μεθοδίας[l] ἐν πράξει ἢ λόγῳ ἢ κατὰ διάνοιαν ἐνεργουμένης, καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν πᾶσιν τοῖς ἁγίοις τοῖς ἀπ᾽ αἰῶνός[m] σοι εὐαρεστήσασιν. *Ἐκφώ(νησις)·* Καὶ καταξίωσον ἡμᾶς, δέσποτα.

3) *Ὁ λαός·* Πάτερ ἡμῶν.
4) *Ὁ ἱερεύς·* Ὅτι σοῦ ἐστιν ἡ βασιλεία[n].
5) *Ὁ λαός·* Ἀμήν.

[a]Col 2,3 [b]2Cor 9,12 [c]cfr. 1Tim 1,12 [d]Hebr 5,1 [e]Hebr 9,7 [f]1Tim 1,17 [g]Job 5,9; 9,10 [h]Io 6,56 [i]2Cor 6,16 [j]cfr. Col 3,16 [k]1Cor 6,19 [l]cfr. Eph 6,11 [m]Lc 1,70 [n]Mt 6,13

= SWA 97; LEW 348-349; STR.BAR 48; MORA-P 55-56; ARR.EUC 581-582

+ GOAR 166-167; SWA 184; TRE.LIT 215-216; JAC.POR 121; FON.PRO 50; JAC.MES 3.11; PAS 249; THI 54; ARR.EUC 519-520; ROM 124-125; PAP 82-83; ZER 115

**47**. 1) *Ὁ ἱερεύς·* Εἰρήνη πᾶσιν.
2) *Ὁ λαός·* Καὶ τῷ πνεύματί σου.

3) *Ὁ διάκονος·* Τὰς κεφαλὰς ἡμῶν.

4) *Ὁ ἱερεὺς ἐπεύχεται·*

5) Ὁ θεός, ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαχνος, |**42v** ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν[a], ἔφιδε εὐσπλάχνῳ ὄμματι ἐπὶ πάντα τὸν λαόν σου καὶ φύλαξον αὐτόν, καὶ ἀξίωσον πάντας ἡμᾶς ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων μυστηρίων· σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν κεφαλάς, ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος[b]. *Ἐκφώ(νησις)·* Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι νῦν.

6) |**43r** *Ὁ λαός·* Ἀμήν.

[a]Ps 112,5-6 [b]cfr. Eph 2,4

= SWA 97; LEW 350; STR.BAR 49; MORA-P 57; ARR.EUC 583

+ GOAR 167; SWA 185; TRE.LIT 217; JAC.POR 122; FON.PRO 51; JAC. MES 3.12; PAS 251; THI 55; ARR.EUC 521; ROM 126; PAP 83; ZER 116